

# 20 MAI
# PARACLISUL
# SF.CUVIOSI
# NICHITA,IOSIF SI IOAN
# DE LA HIOS
# VENETIA,1804

www.tezaurliturgic.ro

# (α) ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΥΣ ΟΣΙΟΥΣ ΚΑΙ ΘΕΟΦΟΡΟΥΣ ΠΑΤΕΡΑΣ ΗΜΩΝ.

## ΝΙΚΗΤΑΝ, ΙΩΑΝΝΗΝ, καὶ ΙΩΣΗΦ.

Τροπάριον. Ἦχος δ'. Τῇ Θεοτόκῳ ἐκτενῶς.

Τοῖς Θεοφόροις καὶ σεπτοῖς νῦν προσφύγωμεν, θείοις πατράσι καὶ ἡμῶν ἀντιλήπτορσιν, ἐν κατανύξει κράζοντες ἐξ ὅλης ψυχῆς, Ἅγιοι προφθάσατε, ἐφ' ἡμῖν σπλαγχνισθέντες, καὶ δεινῶν λυτρώσασθε, τοὺς ὑμᾶς ἀνυμνοῦντας, ὡς παῤῥησίαν κεκτημένοι πρὸς Θεόν, ὃν δυσωπεῖτε ῥύσασθαι ἡμᾶς ἔλεος.

Καὶ νῦν Θεοτοκίον, Τῇ Θεοτόκῳ ἐκτενῶς.

Ὠδὴ, ά. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Τὸν Χριστὸν ποθοῦντες εἰλικρινῶς, Ὅσιοι Πατέρες, ἀπηρνήθητε ἑαυτοὺς, καὶ τοῖς τῆς ἀσκήσεως ἀγῶσι, τούτῳ προθύμως ἐλατρεύσατε.

Ὡς

---

(α) Τοὺς παρακλητικοὺς τούτους Κανόνας, συνέταξα διὰ λόγου μου μόνον, πρὶν νὰ ἀποβλέψω εἰς τὴν ἔκδοσιν τοῦ τύπου, ὅθεν καὶ ἑνικὸν ἔχουσι πρόσωπον, πλὴν δὲν εἶναι ζημία νὰ ψάλλονται καὶ ἐπ' ἐκκλησίας κοινῶς, ὅτι σχεδὸν οἱ περισσότεροι παρακλητικοὶ Κανόνες, ἑνικὸν ἔχουσι πρόσωπον.

www.tezaurliturgic.ro



Ὡς Κόσμου ἐάσαντες τὰ τερπνά, Ὅσιοι Κυρίου, Ἰωάννη σὺν Ἰωσήφ, καὶ Νικήτα, τῷ νίκης ἐπωνύμῳ, κἀμὲ τῆς τούτων ἀπάτης λυτρώσασθε.

Ἱκέτης προσέρχομαι τῇ ὑμῶν, θερμῇ προστασίᾳ, ὦ Ὁσίων ἡ καλλονή, Ἰωσήφ, Νικῆτα Ἰωάννη, καὶ μὴ κενόν με τὸν ἄθλιον πέμψητε.

Θεοτοκίον.

Ἴασαι νοσοῦντά με χαλεπῶς, τῆς θαυματηφόρου, ἀθεμείας τῶν σαρκικῶν, ἁγνὴ ψυχικῶν τε παθημάτων, ὅπως ἐν πίστει ἀεὶ μακαρίζω σε.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Οὐρανίας τυχόντες, πανευκλεεῖς Ὅσιοι, δόξης καὶ ἀφράστου ἀξίως Μακαριότητος, τῆς αἰωνίου ποινῆς, καὶ ἀφορήτου αἰσχύνης, ῥύσασθέ με δέομαι, Χριστῷ πρεσβεύοντες.

Ἀμερίμνως διάγω, καὶ ἀμελῶς Ἅγιοι, καὶ τῆς φοβερᾶς καὶ δικαίας Χριστοῦ ἐτάσεως, ἀμνημονῶ τῆς φρικτῆς, ἧς μοι τὴν μέριμναν δότε, ὅπως διορθώσω

www.tezaurliturgic.ro

μοι τὰ πεπραγμένα αἰσχρῶς.

Κοσμικῇ προσπαθείᾳ, καὶ ἡδοναῖς ἕλκομαι, καὶ ταῖς πονηραῖς συμβουλίαις τοῦ πολεμήτορος, ὅλως ὑπείκω ἀεί, καὶ τοῦ ὑμῶν θείου βίου, ἴχνος οὐκ ἐζήλωσα, οἴμοι τῷ τάλανι.

Θεοτοκίον.

Νοῦν καὶ φρένα καὶ λόγον, δῶρον Θεοῦ εἴληφα, ὅπως ἐπιγνοὺς τὸν Δεσπότην ἔργοις τιμήσω καλοῖς, ἐγὼ δὲ πάθεσι τὴν δωρεὰν ἀτιμάσας, τὸν δοτῆρα ὕβρισα Δέσποινα σῶσόν με.

## Ὠδὴ, δ΄. Εἰσακήκοα Κύριε.

Ἐνδίκως ἐνστησάμενον, κατὰ τῶν παθῶν Νικήτα φερώνυμε, ἐκτενῶς καθικετεύω σε, τῆς ψυχῆς τὰ πάθη ταπεινῶσαί μου.

www.tezaurliturgic.ro



Ἰωάννη Μακάριε, χάριτος ἐπώνυμε σύ μοι δώρησαι, τὴν σὴν χάριν τὴν οὐράνιον, τοῦ ἰχνηλατῆσαι τὰ σὰ βήματα.

Σωφροσύνης ὑπόδειγμα, Ἰωσὴφ παμμάκαρ σὺ ἐχρημάτισας, δι' ὃ σώφρονά με ποίησον, τῆς σαρκὸς τὰ πάθη καταστέλλων μου.

Θεοτοκίον.

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατάπαυσον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Δεῖξόν με Σωτὴρ, πληρωτὴν τῶν προσταγμάτων σου, τῶν Ὁσίων σου ταῖς θείαις λιταῖς, οὓς νῦν προβάλλομαι πρέσβεις, τῇ εὐσπλαγχνίᾳ σου.

Τρίβον τὴν στενὴν, καὶ τεθλιμμένην ὡδεύσατε, δι' ὅ με ἰθύνατε εὐχαῖς ὑμῶν, πρὸς σωτηρίους τρίβους, Χριστοῦ πανεύφημοι.

Δάκρυσι θερμοῖς, τὴν ἐμὴν ψυχὴν ἁγνίσασθαι, τὴν μολυνθεῖσαν ἁμαρτίαις πολλαῖς, ἀξιωθῆναί με θεῖοι Χριστοῦ πρεσβεύσατε. Θεοτοκίον.

Λύτρωσαι ἡμᾶς ἐκ κινδύνων Θεοτόκε ἁγνὴ, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

www.tezaurliturgic.ro

Ὠδὴ ϛʹ. Τὴν δέησιν ἐκχεῶ.

Προστάτας μου τῆς ζωῆς ὡς εὕροιμι, Θεοφόροι καὶ σεπτοί μου Πατέρες, τῶν λυπηρῶν διαλύοντες νέφος, καὶ συμφορῶν τὰς ἐφόδους ἐλαύνοντας, γαλήνην δὲ τὴν ψυχικήν, δωρούμενοι μοι ὅπως γεραίρω ὑμᾶς.

Ἀπαύστως ὑπὲρ ἐμοῦ πρεσβεύετε, Θεοφόροι καὶ προστάται μου θεῖοι, πρὸς τὸν Κριτὴν καὶ Θεόν μου καὶ πλάστην, τοῦ οἰκτειρῆσαί με τὸν παναθλιον, ἐν ὥ-

D 4 ρᾳ



ρᾳ φρικτῇ καὶ φοβερᾷ, τῆς δευτέρας αὐτοῦ ἐπελεύσεως.

Ἐσκοτισμένον ἁμαρτίας ζόφῳ με, φωτίσατε λιτάζω Ὁσίων, τριὰς σεπτή, τῆς Τριάδος τῇ αἴγλῃ, τῆς ὑπερφώτου ᾗ συμπαρίστασθε, δικαίων δήμοις καὶ χοροῖς, τῶν οὐρανίων Νόων πανεύφημοι.

Θεοτοκίον.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμόν, ἐν ταῖς θλίψεσι κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα, ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Κοντάκιον. Ἦχος βʹ.

Προστασία τῶν Χριστιανῶν.

Προστασίαν τὴν ὑμῶν ἐξαιτούμενοι, τὴν ἱκεσίαν ταύτην προσάγομεν, μὴ δὴ παρίδητε ἡμῶν δέησιν πενιχράν, ἀλλὰ προφθάσατε ὡς ἀγαθοὶ εἰς τὴν βοήθειαν ἡμῶν τῶν θερμῶς κραυγαζόντων ὑμῖν, Ὅσιοι τοῦ Κυρίου, ῥύσασθε ἡμᾶς πάντων, τῶν ἐν βίῳ δεινῶν καὶ ἀλγεινῶν.

## Ὠδὴ, ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἐπιλάμψεσι θείαις, τὴν ἐμὴν ἐλαμφθῆναι ἐκδυσωπεῖτε ψυχὴν, τὸν ζόφον τῆς κακίας, αὐτῆς ἀποσοβοῦντες, ἵνα ψάλλω σωζόμενος, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σχῆμα τῆς μετανοίας, ἐνεδύθην ὁ τάλας, ἀλλὰ τοὺς ταύτης καρποὺς, οὐκ ἤνεγκα Σωτήρ μου, δι' ὃ μή με ἐκκόψῃς, ὡς τὸ δένδρον τὸ ἄκαρπον, ἀλλ' οἰκτειρήσαις Χριστὲ, λιταῖς τῶν σῶν Ὁσίων.

Θελητὴς ὢν ἐλέους, Κύριε μακρόθυμε, καὶ οἰκτιρμῶν ἡ πηγή. τοῖς ῥείθροις τῶν δακρύων, ἀπόπλυνόν

τὸν

www.tezaurliturgic.ro



τὸν ῥύπον, τῆς ψυχῆς μου κραυγάζοντος, ὁ τῶν Ὁσίων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Θησαυρὸν Σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ, η'. Τὸν Βασιλέα τῶν οὐρανῶν.

Σάρκα τῷ λόγῳ καθυποτάξαι ἐμφρόνως, καὶ διάγειν σωφρόνως Πατέρες, ἐνισχύσατέ με θείαις ὑμῶν πρεσβείαις,

Ἐν τῷ σπηλαίῳ ὡς ἐν θεάτρῳ Πατέρες, ἠγωνίσθητε στεῤῥῶς Θεοφόροι, κατὰ πολεμίων ἀσάρκων ἀοράτων.

Ὦ Ἰωάννη σὺν Ἰωσὴφ καὶ Νικήτα, τὸν Θεὸν ἐκδυσωπεῖτε ἀπαύστως, τὰ κατ' ἐμοῦ συντρῖψαι τῶν πολεμούντων βέλη.

Θεοτοκίον.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε, ὅθεν σὲ ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, θ'. Κυρίως Θεοτόκον.

Νικῆτα νίκης κράτος, Ἰωάννη χάριν, καὶ Ἰωσὴφ σωφροσύνην δωρήσασθε, κατὰ παθῶν τῶν ἀπαύστως παρενοχλούντων μοι.

Νικῆτα Ἰωάννη, Ἰωσὴφ τρισμάκαρ, ὑπὲρ ἐμοῦ ἱκεσίαν ποιήσατε, σὺν τῇ ἀχράντῳ παρθένῳ πρὸς τὸν τῶν ὅλων Θεόν.

Τὴν πενιχρὰν μου ταύτην, δέησιν Πατέρες, ἐξ ἀκαθάρτου νοός τε καὶ στόματος, προσαγομένην ὑμῖν ἀποδέξασθε.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ῥοίαν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε Χριστὸν κυήσασα.

Μεγαλυνάρια.

Πράξεων ἐνθέων ταῖς φαειναῖς, αἴγλαις Θεοφόροι, ἀπαστράψαντες θαυμαστῶς, πρὸς ὁδοὺς ἀληθείας, τῶν θείων θελημάτων, τῶν μοναστῶν τὰ πλήθη καθωδηγήσατε.

Ὅσιε Νικῆτα σὺν Ἰωσὴφ, καὶ τῷ Ἰωάννῃ, Θεοφόροι ὡς ἀληθῶς, τῆς Τριάδος λάτραι, τῆς τριλαμποῦς καὶ θείας, εὐχαῖς ὑμῶν ἁγίαις, ἡμᾶς φωτίσατε.